Νευρὴ λάλον Φοίβου χορδὴν θέσεν· ἡ δ' ἐπὶ πήχυς
Ἑλκομένη, θηρὸς λαιμὸν ἀπεβρόχισεν.
Τόξων εὐστρέπτων θαυμάζομεν· ὃς γὰρ κατ' ἐχθρῶν
Ἤδη καὶ κιθάρην εὔστοχον ὅπλον ἔχει.

## ΒΙΑΝΟΡΟΣ.

Ἰχθύσι καὶ ποταμῷ κλειτώνυμον ἐχθρὸς ὅμιλος
Ὦσεν, ὅτ' εἰς ἄκρην ἦλθε τυραννοφόνος.
Ἀλλὰ δίκη μιν ἔθαψεν. ἀποσπασθεῖσα γὰρ ὄχθη
Πᾶν δέμας ἐς κορυφὴν ἐκ ποδὸς ἐκτέλεσεν.
Κεῖται δ' οὐχ ὑδάτεσσι διάβροχος· αἰδομένα δὲ
Γᾶ κλύθει τὸν ἐᾶς ὅρμον ἐλευθερίας.

---

## ΕΙΣ ΔΥΣΠΡΑΓΙΑΝ,
## κεφ. κγ.

## ΦΙΛΙΠΠΟΥ.

Ἕβρου Θρηικίου κρυμῷ πεπεδημένον ὕδωρ
Νήπιος ἐκβαίνων, οὐκ ἔφυγε θάνατον.
Ἐς ποταμὸν δ' ἤδη λαγαρούμενον ἴχνος ὀλισθὼν
Κρυμῷ σὺν ἁπαλοὺς αὐχένας ἀμφεκάρη.
Καὶ τὸ μὲν ἐξεσύρη λοιπὸν δέμας· ἡ γὰρ μένουσα
Ὄψις ἀναγκαίην εἶχε τάφου πρόφασιν.
Δύσμορος ἧς ὠδῖνα διείλετο πῦρ τε καὶ ὕδωρ·
Ἀμφοτέρων γὰρ δοκῶν, οὐδενός ἐστιν ὅλος.

ΑΝΤΙ-